μιον φησὶ καθόλου μὲν εἰπεῖν, ἀκροατῶν ἐστὶ παρασκευὴ, καὶ τοῦ πράγματος ἐν κεφαλαίῳ μὴ εἰδόσι δήλωσις. Τοὺς μέντοι ἀκροατὰς ταῦτα εἰώθαμεν ἀποχρώντως παρασκευάσθαι, ἐπειδὰν εὔνους τε ἡμῖν, καὶ τοῖς ῥηθησομένοις προσέχοντας, καὶ εὐμαθεῖς κατορθώσωμεν. Τοιγάρτοι ἐντεῦθεν συναγαγεῖν ἐστὶ τὰ τοῦ προοιμίου ἔργα, εὔνοιαν, προσοχὴν, εὐμάθειαν. ἅπερ ἅμα πάντα ἐμφιλοχωρεῖν ἐπὶ παντὸς προοιμίου, οὐ πάντως ἐστὶν ἐπάναγκες. ἀλλ' ἅττα τό, τε εἶδος τοῦ λόγου, καὶ ἡ τοῦ ἀκροατοῦ διάθεσις ἀπαιτεῖ. ἔστι δ' οὗ καὶ ὁλοσχερῶς τοῦ προοιμίου ὁ Ῥήτωρ ὀλιγωρεῖ, ὡς ἐν τοῖς ἑξῆς εἰσόμεθα. ἐν οἷς μέντοι χρηστέα ἦν καὶ ὅθεν ἂν νῦν εὐπορήσαιμεν, τὰ νῦν πειρατέον εἰπεῖν.

## ΠΕΡΙ ΕΥΝΟΙΑΣ.

Εὔνοια μὲν οὖν θηρᾶσθαι καὶ ἄλλοις πέφυκε, μάλιστα δὲ ἐκ τεττάρων τούτων. ἐπαίνου τῶν ἀκουόντων. συστάσεως τοῦ οἰκείου προσώπου. ἐκ διαβολῆς τῶν ἀντιδίκων. καὶ λύσεως τῶν ἀντιπιπτόντων. ὧν τοῦ μὲν πρώτου ἔστω παράδειγμα τὸ τοῦ Ἰσοκράτους ἐν πλαταϊκῷ. Εἰδότες ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους, καὶ τοῖς εὐεργέταις μεγίστην χάριν ἀποδιδόναι. καὶ τὰ ἑξῆς. τό, τε δημοσθενικὸν ἐκεῖνο ἐν τῷ πέμπτῳ ὑπὲρ Ὀλυνθίων, ἐν ᾧ ἐκπλαγίου ὁ Ῥήτωρ ἐπαινῶν τοὺς Ἀθηναίους ὡς χρημάτων ὑπερόπτας, καὶ πρὸ παντὸς τιθεμένους τὸ συμφέρον τῆς πόλεως, τὴν παρ' ἐκείνων εὔνοιαν σφετερίζεται, τούτοις

τοις προσοικῶς καὶ οἱ Κορίνθιοι κέχρηνται πρὸς Λακεδαιμονίους ἐν τῇ πρώτῃ τῶν ξυγγραφῶν Θουκυδίδου. καὶ παρὰ ταῦτα τὸ Κλέωνος, ὡς πρὸς Ἀθηναίους ἐν τῇ τρίτῃ. Τοῦ δὲ δευτέρου, τὸ τοῦ περὶ Στεφάνου μάλιστα προσφυές· ἔνθα ὁ Ῥήτωρ τοῖς πολίταις ἑαυτὸν συνιστάς, τὸ φιλόδημον αὐτοῦ καὶ εὔνουν μεθ' ὅρκου τ' ἐμπεδοῖ, καὶ τοῦτο παρ' ἐκείνων τοῖς ἴσοις μέτροις ἀνταπαιτεῖ. Πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ, τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα. (Ἐκ διαβολῆς τῶν ἀντιδίκων) προοιμιαστικὸς τῷ Ῥήτορι ὁ κατὰ Μειδίου λόγος. Τὴν μὲν ἀσέλγειαν ὦ ἄνδρες δικασταὶ καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὔθ' ὑμῶν, οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι· καὶ τὰ ὅμοια. τοῦ τοιούτου δὲ γένους καὶ ὁ περὶ τῶν ἐν Χεῤῥονήσῳ καὶ συμμοριῶν λόγος, οἷς ἐντυχεῖν ῥᾷστ' ὁπηνίκα ὑμῖν προὔργου γένηται. (Ἐκ τῆς τῶν ἀντιπιπτόντων λύσεως) Λοιπὰ γοῦν ὅσα τῆς τῶν ἀντιπιπτόντων λύσεως. ἣ καὶ πολυσχιδῆ τὴν σκέψιν εἴληχεν, ἅτε δὴ καὶ τὰ ἀντιπίπτοντα. τὰ μὲν γὰρ παρὰ τὸ διάφορον ἀνακύπτει τῆς τῶν προσώπων σχέσεως, ἐξ ὧν ὁ λόγος σύγκειται. τὰ δὲ ἐκ τῶν πραγμάτων αὐτῶν ἐκφύεται, καὶ τῆς αἰτίας δι' ἣν ὁ λόγος. ἔνια δὲ προξενεῖ ἢ τὸ τοῦ χρόνου ἀνοίκειον, περὶ ἃ καὶ καθ' ἃ πάντα εἰκός ἐστι τὰς ἀμφισβητήσεις τε καὶ κρίσεις ποιεῖσθαι τὸν νουνεχῶς ὑπαιτοῦντα. ἐπεὶ καὶ φιλεῖ παρὰ ταῦτα ὡς τὰ

πολ·

πολλὰ παρακρούεσθαι ἡ ἀλήθεια. Ἐκ μὲν τῶν προσώπων τοιάδε ἀντιπίπτειν ἐνδέχεται. οἷον φέρε εἰπεῖν; τίς ὢν λέγεις. καὶ πρὸς τίνας; ἢ νεώτερος πρὸς πρεσβυτέρους συνέσει τε καὶ σοφίᾳ κεκοσμημένους, ὃ κάλλιστα τῷ Ἰσοκράτει διῴκηται ἐν Ἀρχιδάμῳ. Ἴσως τινὲς ὑμῶν θαυμάζουσιν, ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις, καὶ τὰ λοιπά. καὶ Δημοσθένης ἐν τῷ πρώτῳ τῶν κατὰ Φιλίππου. ἢ πάλιν, εἴτις πρεσβύτης ὢν, δημηγορεῖ παρὰ τὸ εἰωθὸς, καὶ εἴ τις μηδὲν πρότερον εἰρηκώς. οἱ γὰρ τοιοῦτοι κέρδους ἕνεκα τινὸς ἰδίου ἐπὶ τὸ λέγειν ὁρμῆσαι δοκοῦσιν. ἔπειτα ἐὰν συνεχῶς λέγῃ. τοῦτο γὰρ οὐχ ὅπως πολυπραγμῶν, ἀλλὰ καὶ ὕβριν διὰ τὸν κόρον ἐμποιεῖ τοῖς ἀκούουσι. καὶ ταύτην τοιγαροῦν ἀποκρούειν δεῖ τὴν ὑπόνοιαν, τὰς αἰτίας ἀναφέρων, ἢ εἰς τὴν σπάνιν τῶν συμβουλευόντων, ἢ εἰς τὸ μέγεθος τοῦ κινδύνου, ἢ ἐπὶ τὸν ἀντίδικον, καὶ ἐπ' ἄλλο τι τοιοῦτον. ὡς ἄλλοι τε, καὶ ὁ Δημοσθένης ἐν τῷ πρὸς Λεωχάριν. Αἴτιος μέν ἐστι Λεωχάρις οὑτοσὶ ὦ ἄνδρες δικασταὶ, τοῦ καὶ αὐτὸν κρίνεσθαι, καὶ ἐμὲ νεώτερον λέγειν ἐν ὑμῖν, ἀξιῶν κληρονομεῖν ὧν οὐ προσῆκεν αὐτῷ, καὶ ὑπὲρ τούτων ψευδῆ διαμαρτυρίαν πρὸς τῷ ἄρχοντι ποιησάμενος. καὶ τὰ λοιπά. Εἶτα ἂν κατά τινος λέγῃς τῶν ἐν τῇ πόλει λαμπρῶν τε καὶ περιβλέπτων, αὐτὸς ἀφανὴς ὤν, ἤγουν μὴ ἰσοστάσιος, καὶ ταῦτα εἴγε διώκῃς ἐφ' οἷς ἐκεῖνος εὐδοκιμεῖ παρὰ τοῖς ἀκούουσι. τηνικαῦτα γὰρ πολὺ πρότερον, ἐν προοιμίοις θεραπευτέον τὴν τοῦ ἀκροατοῦ διάθεσιν, εἶτα καὶ ἐπὶ τὸν

ἄλλον λόγον ἰτέον. τοῦτο ἄριστα ἐν τῷ πρώτῳ πρὸς Πλάτωνα Ἀριστείδης περὶ Ῥητορικῆς ἐφιλοτεχνήσατο. Οἶμαι δεῖν ὅστις μέλλει τὰ δέοντα ἐρεῖν, ἢ ψήφου κύριος ὀρθῶς ἔσεσθαι, μὴ τοῦτο σκοπεῖν, μηδὲ βασκαίνειν, εἴ τινι τῶν προτέρων καὶ δόξαν ἐχόντων ἑτέρως εἰρῆσθαι περὶ αὐτῶν συμβέβηκε· καὶ τὰ ὅμοια. Σκοπεῖν δὲ καὶ παρὰ ταῦτα χρή, ἢ τῶν πρὸς ἔχθραν τίς ἐστι περὶ οὗ ὁ λόγος, ἢ τῶν ἐπιτηδείων, καὶ τῶν ἀφ' αἵματος, ἐν οἷς δι' ὑποψίας ἐστὶν ὁ Ῥήτωρ, μὴ ὑπ' εὐνοίας ἢ μίσους ἑλκόμενος μικρὰ τῆς ἀληθείας εἰκάζεται. ταύτην μάλα ἐντέχνως ἀπεσκεύασε τὴν ὑπόνοιαν ὁ Θεολόγος Γρηγόριος, ἐν τῷ εἰς Γοργονίαν τὴν ἑαυτοῦ ἀδελφὴν ἐπιταφίῳ. Ἀδελφὴν ἐπαινῶν, τὰ οἰκεῖα θαυμάζομαι. οὐ μὴν ὅτι οἰκεῖα, διὰ τοῦτο ψευδῶς· ἀλλ' ὅτι ἀληθῆ, διὰ τοῦτο ἐπαινετῶς. ἀληθῆ δέ, οὐχ ὅτι δίκαια μόνον, ἀλλ' ὅτι καὶ γινωσκόμενα, καὶ τῷ πρὸς χάριν οὐ συγχωρεῖται κἂν ἐθελήσωμεν.

## ΠΕΡΙ ΤΩΝ ΑΠΟ ΤΗΣ ΑΙΤΙΑΣ ΑΝΤΙΠΙΠΤΟΝΤΩΝ.

Τοῖς γοῦν εἰρημένοις, καὶ πρὸς τὰ ἀπὸ τῆς αἰτίας ἀντεφορμᾶν ἕξομεν. ἅπερ ἡμῖν ἀντιβαίνειν δοκεῖ, ὁπηνίκα δι' ἔχθραν, ἢ δι' ὀργήν, καὶ πρὸς τὸ ἴδιον ἀφορῶντες κέρδος τὰς εὐθύνας εἰσφέρεσθαι ὑποπτευώμεθα, καὶ διὰ φιλίαν μᾶλλον, ἢ δι' ἀρετὴν τοὺς ἐπαινουμένους ἀποσεμνύνειν. Παραδείγματα δὲ παρὰ τὰ ἐκτεθέντα, κἀκεῖνα οὐκ ἄπο σκοποῦ, οἷς ὁ Ῥήτωρ κέχρηται κατά τε Ἀριστοκράτους, καὶ

Ὀνη-

ΙΩΑΝΝΙΝΑ 2006

ῥήτορος. Μηδεὶς ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι νομίσῃ μήτε ἰδίας ἔχθρας ἐμὲ, μήτε μιᾶς ἕνεκ' ἥκειν Ἀριστοκράτους κατηγορήσαντα. καὶ τὰ λοιπά.

## ΤΑ ΑΝΤΙΠΙΠΤΟΝΤΑ ΕΚ ΤΩΝ ΠΡΑΓΜΑΤΩΝ.

Τὰ δὲ ἐκ τῶν πραγμάτων ὡδίπως θεραπευτέα. οἷον, εἰ μεγάλοις ἐγχειρεῖ καὶ δόξαν ἐσχηκόσι, τὸ τοῦ ἀγῶνος ἐργῶδες καὶ δυσαντίβλεπτον ὁμολογητέον ἐν προοιμίοις εὐθύς. οἷα, δὴ τὰ πολλὰ μηχανῶνται οἱ πανηγυρίζοντες, ἀσθένειαν ἑαυτῶν, ἢ προπέτειαν παρ' αὐτὴν τὴν πρώτην τοῦ λόγου παρείσδυσιν καταγινώσκοντες, καὶ γλῶτταν καὶ λόγων φύσιν διαμεμφόμενοι, ὡς οὐχ ἱκανῶς ἐνδείξασθαι δυναμένην ὅσον εὐφημίας τῷ ἐγκωμιαζομένῳ πρόσεστι. κἀντεῦθεν τῶν τε θεωρῶν τὴν εὔνοιαν ἐπισπώμενοι, καὶ τῷ εὐφημουμένῳ εὔκλειαν μνηστευόμενοι. ἀποδέχεται γὰρ ὁ ἀκροατὴς τὸν λέγοντα μᾶλλον μετριοφρονοῦντα, εἴτι καὶ εἰρωνεύοιτο, ἢ ἀναιδῆ ἀπαυθαδιαζόμενον. Παραδείγμασι δὲ τούτων ἐπὶ πολλῶν καὶ ἄλλων ἐντεύξεσθε, καὶ παρὰ Γρηγορίῳ. Ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος. καὶ τὰ ὅμοια. καὶ Ἀριστείδει ἐν τῷ παναθηναϊκῷ. τῷ εἰς ῥώμην ἐγκωμίῳ. καὶ ἐν πρώτῳ τῶν ἱερῶν. Εἰ δ' ἔμπαλιν ἃ δίεξεισι μικρά τε εἰσὶ καὶ εὔωνα, ἐπαύξειν πειρατέον, ἢ καθ' ἑαυτά, ἢ πρὸς ἐλάττω παραβαλλόμενα. ὡς Λουκιανὸς ἐν ἐγκωμίῳ τῆς μυίας. Εἰ δὲ τοῦτο οὐκ ἔστι, ἀλλὰ γοῦν ἀναγκαῖας ἢ ἐπωφελῆ, ἢ δίκαια,

καὶ τὰ ὅμοια ἀποδεικτέον, τούτοις αὐτοῖς καὶ ὅσα ἀτοπίαν ἔχειν δοκοῦντα. ἢ ἐπαχθῆ εἴη τοῖς ἀκροωμένοις θεραπεύσειν. ἢ μειῶν ταῦτα, ἢ τὴν κατεπείγουσαν αἰτίαν ἐπάγων, ἢ τῷ ἀντιδίκῳ τὰς προφάσεις ἐπιφορτίζων, ἢ εἰς θεὸν, ἢ εἰς τύχην, ἢ φύσιν, ἢ ἦθος ἀναφέρων τὸ αἴτιον· ἀνθ' ὧν ἁπάντων ἀπόχρη τό γε νῦν ἔχον διὰ τὸ σύντομον ἐν παραδείγματος λόγῳ, τὸ τοῦ Ἀριστείδου ὑπὲρ τοῦ μηδ' ἑτέροις βοηθεῖν. Εἴτι κἀμοὶ μέτεστιν ὦ Ἀθηναῖοι παῤῥησίας, πειράσομαι περὶ τῶν παρόντων εἰπεῖν ἃ γινώσκω, δεηθεὶς ὑμῶν μὴ θορυβῆσαι, πρὶν ἂν πάντων ἀκούσητε. καὶ τὰ ἑξῆς. Ἀπὸ δὲ τοῦ χρόνου ἀναφύονται ἡμῖν ἀντιῤῥήσεις, ὅτε εἰ σπεύσωμεν παρὰ τὸ προσῆκον τοὺς λόγους, ἢ κατόπιν γενώμεθα τοῦ καιροῦ ὑστεροῦντες. ὁ Δημοσθένης ἐν τῷ περὶ Στεφάνου Αἰσχύνῃ φαίνεται ἀνθυπενεγκών. τοῦτο ἄριστα ἐν προοιμίοις τῷ Ἰσοκράτει ἀνασκευάσαι ἐν τῷ πανηγυρικῷ, ἔνθα φησὶν ὡδίπως. Ἔπειτα οὐδ' οἱ καιροί πω παρεληλύθασιν ὥστε μάτην εἶναι τὸ μεμνῆσθαι περὶ αὐτῶν. καὶ τὰ ἑξῆς. Καὶ περὶ μὲν ὧν ἡ εὔνοια θηραθείη, τοσαῦτα εἰρήσθω. οἷς δὲ προσοχὴ καὶ φιληκοΐα, ἑξῆς ῥητέον.

## ΠΕΡΙ ΠΡΟΣΟΧΗΣ.

Τὸ μὲν οὖν προσεκτικὸν ποιεῖν, ὁ Ἀριστοτέλης οὐχ ἧττον ἡγεῖται τῶν ἄλλων εἶναι μερῶν τοῦ λόγου, ἢ τοῦ προοιμίου· ἔξεστι γάρ φησι τῷ Ῥήτορι, εἰδ' ἂν τοῦ λόγου τοὺς ἀκροατὰς αἴσθοιτο εἰς ῥαθυμίαν ἀποκλίνοντας ἀνακαλέσασθαι τὸ, Καί μοι προσέχετε τὸν νοῦν, καὶ σκέψασθε



ΙΩΑΝΝΙΝΑ 2006

τι πρὸς θεῷ, καὶ τὰ παραπλήσια παρενείρων. μάλιστα μέντοι οἷς προσέχειν πεφύκασιν ἄνθρωποι, ταῦτα εἰσί, τὰ μεγάλα, τὰ θαυμαστά, τὰ ἡδέα, τὰ φοβερά, τὰ καινά, τὰ οἰκεῖα, τὰ συμφέροντα ἰδίᾳ ἑκάστῳ, καὶ πᾶσι κοινῇ, δίκαια, ῥάδια, ἀγαθά, καὶ ἔτι τούτοις παραπλήσιον. ἅπερ εἰ δόξῃ λέγων ἄριστα, τὴν φιληκοΐαν ἐπισπάσεται. πάντων δ' ἑξῆς τῶν εἰρημένων ἐξενεγκεῖν παραδείγματα, καὶ περίεργον, μὴ ὅτι ὀχληρόν, καὶ διατριβὴν ἡμῖν οὐ τὴν τυχοῦσαν ἐμποιεῖν. ἵνα μὴ μέντοι ὁ λόγος παντάπασιν ἀδέσποτος ᾖ, δύο ἢ τρία εἰς ἀκριβεστέραν τῶν εἰρημένων διατράνωσιν παραστάξομεν. τὰ λοιπὰ δὲ ῥᾷστα, καὶ παρ' ὑμῶν προσεξευρίσκεται. Ὁ γοῦν Ἰσοκράτης ὡδί πως τοῖς μεγάλοις ἐν τῷ περὶ εἰρήνης λόγῳ τὴν προσοχὴν προσπορίζεται. Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε, ταῦτα μέγιστα φάσκειν εἶναι, καὶ μάλιστα σπουδῆς ἄξια τῇ πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύειν. καὶ τὰ ἑξῆς. Ἐν δὲ τῷ πανηγυρικῷ τοῖς κοινοῖς καὶ εἰς αὐτοὺς ἐκείνους, εἰς οὓς καὶ ὁ λόγος ἀνήκουσαν, οἷς καὶ ὁ Δημοσθένης ἐν τῷ πρὸς Περικλέα. Ταῖς δ' αὖ ἡδέσι καὶ καινοῖς ὁ Ῥήτωρ εἰς φιληκοΐαν ἐχρήσατο ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν. Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ λοιπά. καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης καὶ πρὸς Ἀθηναίους. Ἣν μὲν ἔκπαλαι πάντες ἡμέραν ἰδεῖν ἐπιθυμοῦμεν ἥδε ἐστὶν ὦ ἄνδρες Λακεδαιμόνιοι, καὶ τὰ λοιπά. Τοῖς φοβεροῖς δέ, ἐν ταῖς κατὰ Φιλίππου λόγοις ὁ Ῥήτωρ κέχρηται, καὶ Ἰσο-

Ἰσοκράτης ἐν ἀρειοπαγητικῷ. Ἐγχωρεῖ δὲ πολλάκις καὶ ἐπαίνοις εἰς τὴν ἀκρόασιν παραθῆξαι τὸν ἐπαΐοντα. οἷον, Τὴν μὲν ὑμῶν περὶ τὰ κοινὰ προθυμίαν εἰδώς, ὦ ἄνδρες, καὶ ὅσον ἐπὶ τὴν ἐκείνων ἐπίδοσιν σπεύδετε. ἢ ὥστε. Οὐ δ' ἦν πάνυ ἐβουλόμην, ὦ ἄνδρες, εἶχεν ὑμᾶς μὴ ἐπαινεῖν, ὅσην πρότεραν ἐνδείξασθε προθυμίαν ἀκοῦσαι τῶν λέγειν διανοουμένων ἡμῶν, ἃ συνοίσειν καθ' ἕνα καὶ κοινῇ τῇ πόλει πάσῃ ἐγνώκαμεν.

## ΠΕΡΙ ΕΥΜΑΘΕΙΑΣ.

Τὴν δὲ Εὐμάθειαν, εἴτις ἀρχὴν εἴποι καὶ βάσιν προσοχῆς καὶ εὐνοίας, οὐκ ἂν ἁμάρτοι. ἐκ ταύτης γὰρ ἐκεῖναι ἤρτηνται. μᾶλλον δὲ ἐπ' αὐτῆς πᾶς λόγος οἷαν ἐπὶ κρηπῖδος βέβηκεν. ἧς ἄνευ ἀνάγκη πᾶσα ἀργὸν μένειν, καὶ τοῦ οἰκείου τέλους ἥκιστα ἐπίβολον. ταύτῃ τοι καὶ Ἀριστοτέλης τοῦτο μόνον ἔργον τοῦ προοιμίου ἀναγκαιότατον τίθησι. τοιγαροῦν αὐτὴ προσγίγνεσθαι πέφυκε τῇ κεφαλαιώσει τῶν πραγμάτων, καὶ μάλιστα τοῦ τέλους, οὗ ἕνεκεν ὁ λόγος δηλώσει μετ' εὐκρινείας ὡς ἔνι καὶ καθαρότητος ἐκπεφρασμένην, ἧς ἐν προοιμίῳ ὅσον σθένος ἐπιμελητέον. συμβάλλεται δὲ ταύτῃ διαφερόντως, καὶ τὸ οἴκοθεν μετενηνέχθαι τὰ προοίμια, καὶ αὐτοῖς οἷον ἐνστάξαι τὸν τῇ ὑποθέσει ἐνδομηχθέντα σκοπόν. οὐδὲν δ' ἧττον καὶ ἡ τῶν ῥηθησομένων κεφαλαίων διαίρεσις, ἣν καὶ προκατασκευήν τινες ἐχρημάτισαν. περὶ ἧς ἐν τῇ προθέσει διαληψόμεθα, ἔσθ' ὅτε γὰρ ἡ αὐτὴ ἐστὶ τῇ προθέσει, ὡς ἀνωτέρω εἰρηκότες ἐσμέν. Παραδειγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. γ. Δ. της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ραδείγματα. δὲ τῆς ἐν προοιμίῳ εὐμαθείας ἔξω τὸ παρ' Ἰσοκράτει παναθηναϊκὸν, καὶ περὶ ἀντιδόσεως. ἐν ᾧ διεξοδικώτατα πραγματεύεται τὴν εὐμάθειαν. Εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀναγνωσθήσεσθαι τοῖς πρὸς τοὺς ἀγῶνας, ἢ πρὸς τὰς ἀποδείξεις γεγραμμένοις, καὶ τὰ λοιπά. μάλιστα συχνοῖς καὶ παρὰ Δημοσθένει ἐντεύξεσθε παραδείγμασιν, εἰ καὶ μικρὸν ἐπιστήσετε. οὐ πόρρω λίαν τῆς ὑποθέσεως, καὶ τοῦτο Πλάτων ἐν ἐπιταφίῳ. Ἀλλὰ περὶ μὲν τῶν καθόλου τῷ προοιμίῳ προσηκόντων, ἅλις ἂν ἔχοι τοσαῦτα εἰρῆσθαι. λοιπὸν δ' ἂν εἴη εἰπεῖν καὶ τίνι ἑκάστῳ λόγου γένει ἐφαρμόττει τὰ προοίμια, καὶ τίσι, καὶ ἐκ τίνων κατασκευαστέα.

## ΠΕΡΙ ΤΟΥ ΕΠΙΔΕΙΚΤΙΚΟΥ ΕΙΔΟΥΣ.

Τοῦ γοῦν Ἐπιδεικτικοῦ εἴδους οὐδὲν οἰκεῖον ἡγεῖται ὁ Ἀριστοτέλης προοίμιον, ἀλλ' ὅθεν ἂν βουλομένῳ ἢ τῷ Ῥήτορι, ἔξεστι λαβεῖν καὶ συνάψαι τῇ ὑποθέσει τὸ ἐνδόσιμον. αἴτιον δὲ οἶμαι, τὸ μηδένα μᾶλλον σκοπὸν προτίθεσθαι τὸ τοιοῦτον εἶδος, ἢ τὴν ἐν λόγοις ἐπίδειξιν. ἥτις οὐδὲν κωλύει πορίζεσθαι, ἐξ ὧνδήποτε συντεθῇ τὸ προοίμιον. εἴωθε μέντοι τὰ πολλὰ (ὡς καὶ αὐτῷ δοκεῖ τῷ Ἀριστοτέλει) ἐκ τεττάρων τούτων λέγεσθαι. Τὰ μὲν ἐξ ἐπαίνου ἢ τῶν τὴν ἀρχὴν τὰς πανηγύρεις συγκροτησάντων, καθὰ καὶ Περικλῆς ἐν ἐπιταφίῳ φησίν. ἢ τῶν ἀκροατῶν καὶ τῆς ἰδίας ἀρετῆς. ἢ γένους ἐκείνων, ἢ πολέμου τινὸς κατορθωμένων. ἢ ἄλλως γέ πως.

του. ἔστι γὰρ οὐ σμικρὸν πλεονέκτημα τῷ ἐγκωμιάζοντι πρὸς ἡδονὴν εἶναι τοὺς λόγους τοῖς ἀκούουσιν. ἀμφότερα δὲ συνεῖρεν Ἰσοκράτης ἐν Εὐαγόρᾳ. ἅμα γὰρ ἐπαινεῖ τὸν ἀγῶνα, καὶ Νικοκλέα τὸν ἀθλοθέτην. πρὸς ὃν καὶ τὸν λόγον συνέθετο. Ὁρῶν ὦ Νικόκλης, τιμῶντά σου τὸν τάφον τοῦ πατρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς, καὶ μουσικῇ, καὶ γυμνικοῖς ἀγῶσι, καὶ τὰ ἑξῆς. Τὰ δὲ τοὐναντίον ἐκ ψόγου. ὡς Ἰσοκράτης ἐν πανηγυρικῷ. ἐν ᾧ μέμφεται τοὺς ἀθλοθέτας, ὅτι μηδεμίαν τοῖς εὐφρονοῦσιν εὔνοιαν πεποιήκασιν, εἰς δὲ τὴν τῶν σωμάτων ἀρετὴν πᾶσαν καταβάλλονται τὴν φροντίδα. Πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγαγόντων, καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. καὶ τὰ παραπλήσια. Τὰ δὲ ἀπὸ συμβουλῆς καὶ τοῦτο διττῶς. Ἡ ἀπὸ προτροπῆς, ὡς ὁ Πλάτων ἐν ἐπιταφίῳ. ἐν ᾧ λόγοις κοσμεῖν συμβουλεύει τὰ καλῶς ἐπραχθῆσαι ἔργα. Ἔργον μὲν ἡμῖν οἵδε ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς. καὶ τὰ λοιπά. Ἡ ἐξ ἀποτροπῆς. οἷον δοκεῖ παρὰ Θουκυδίδῃ τὸ τοῦ Περικλέους ἐν ἐπιταφίῳ. Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλόν. Καὶ παρὰ ταῦτα ἀπὸ λύσεως τῶν ἀντιπιπτόντων τινός. ὡς εἴτις περὶ παραδόξου τινὸς λέγειν προσθεῖτο, ἢ χαλεποῦ, ἢ τῶν τοῖς πολλοῖς τεθρυλλημένων. ὧν τὰ προοίμια καὶ ἐρανίζεσθαί φησιν ὁ Ἀριστοτέλης πρὸς τῶν δικανικῶν τὸν συμβουλεύοντα. Καὶ τοῦ μὲν πρώτου ἔστω παράδειγμα τόνδε τὸν τρόπον. Οἶδα

μὲν

μὲν ὅτι παράδοξος ὑμῖν ὁ παρ' ἐμοῦ δόξει λόγος, καὶ μέχρι τοῦδε μήπω τισὶν εἰρημένος. εἶτα καὶ τὰς αἰτίας προθεὶς ἐπαγάγῃ τὰς λύσεις. Τοῦ δὲ χαλεποῦ, οἷα τὰ ἀνωτέρω, Γρηγορίου εἰς Βασίλειον, καὶ Ἀριστείδους. Τοῦ δὲ τρίτου τοιῶσδε. Πολλοῖς μὲν ἡ παροῦσα πανήγυρις καὶ παρὰ πολλῶν λόγοις τε καὶ συγγράμμασι πολλάκις τεθαύμασται. ἐξ ὧν εἰκός ἐστι μηδένα τῶν συνελθόντων εἶναι, ὃς μὴ περὶ ταύτης ἢ εἰρηκώς τι ἐστιν, ἢ παρά τινος λέγοντος ἤκουσεν. οὐ μὴν διὰ τοῦτο οὐκ ἔστι καὶ αὖθις εἰπεῖν τι καινὸν περὶ αὐτῆς καὶ λόγου μνήμης ἐπάξιον. κἂν γὰρ μόνη τῶν ἄλλων τεθαύμασται, ἀλλὰ μόνη τῶν ἄλλων ἐλάττω τῆς ἑαυτῆς ἀξίας ἐπῄνηται.

## ΠΕΡΙ ΔΙΚΑΝΙΚΟΥ ΕΙΔΟΥΣ.

Οἰκειοτέροις δὲ τὸ δικανικὸν χρῆται τοῖς προοιμίοις, καὶ ἐξ αὐτῆς τῆς φύσεως τοῦ προβληθέντος ζητήματος μετενηνεγμένοις· καὶ διὰ τοῦτο τὸν σκοπὸν τῆς ὅλης ὑποθέσεως ἀπαγγέλλουσιν. ἡ γὰρ εὐμάθεια ἀγαθὴ μὲν ξύνοικος παντὶ προοιμίῳ, δικανικοῦ δέ, καὶ ἀναγκαία πως. ὑπόκειται γὰρ ἐνταῦθα παντάπασιν ὁ ἀκροατὴς ἀνήκοος τῶν ἀμφισβητουμένων. ὅ, τε γὰρ θεωρὸς εἰδὼς ἥκει ὡς εὐφημία τὸ ῥηθησόμενον, καὶ τοιούτων τινῶν, ἃ προσήκει τῇ πανηγύρει. ὅ, τε ἐκκλησιαστὴς προεπίσταται, ἐφ' ᾧ ἡ βουλὴ συγκεκρότηται, κἂν ἀγνώμων τυγχάνῃ τὴν βούλευσιν. ὁ δικαστὴς δὲ τούτων οὐδὲν προεπέγνω. ταῦτ' ἄρ' ὥσπερ ἐς χεῖρας δίδοναι δέον παρ' αὐτὴν τὴν πρώτην τοῦ

λόγου βαλβῖδα, τὸ τέλος τῆς ὅλης ὑποθέσεως τῷ δικάζοντι, ὡς ἂν ὑπερίδειν ἔχοι τοῖς λεγομένοις τὸν λογισμόν. τὸ γὰρ ἀόριστον ἀπαρτᾷ πως καὶ ἀποπλανᾷ τὴν διάνοιαν (ὥς που φησὶν ὁ Ἀριστοτέλης) καὶ δυσπαρακολούθητον ἀπεργάζεται τὸν λόγον. Ληπτέα δὲ ἐπὶ τούτου τὰ προοίμια, ἔκ τε τῶν προσώπων καὶ τοῦ πράγματος, ἢ τῶν παρεμφαινομένων τινός. καὶ τούτων αὖθις ἕκαστον, ἢ ἐξ ὑπολήψεως, ἢ ἐξ ὑποδιαιρέσεως, ἢ ἐκ περιουσίας, καὶ προσέτι ἀπὸ καιροῦ. περὶ ὧν ἁπάντων κάλλιστά τε καὶ διεξοδικώτατα τῷ Ἑρμογένει διείληπται, ἐν τοῖς περὶ εὑρέσεως. διὸ καὶ μακρότερον ἐπὶ τοῦ παρόντος ἀποτεῖναι οὐ δεῖν ᾠήθην ἐξὸν παρ' ἐκείνῳ πληρέστατα ἐντυχεῖν.

## ΠΕΡΙ ΔΗΜΗΓΟΡΙΚΟΥ ΕΙΔΟΥΣ.

Ἐπὶ δὲ τοῦ Δημηγορικοῦ εἴδους οὐδενὸς ἐνδεῖ προοιμίου τῷ συμβουλεύοντι, ὅτι μὴ εἰς σύστασιν τοῦ οἰκείου προσώπου. καὶ ταῦτα ἡνίκα τινὰ περὶ ἑαυτοῦ ὑπόληψιν οὐκ ἀγαθὴν ἀποκροῦσαι δέον, ἢ τὴν σφετέραν περὶ τοῦ πράγματος γνώμην, ὅσον παρενείξασθαι ἐν παραδείγματος λόγῳ, ἔστω τὸ τοῦ Βασιλείου πρὸς τοὺς νέους. καὶ Περικλέους ἐν τῇ δευτέρᾳ τῶν ξυγγραφῶν Θουκυδίδου. προσοχὴν δὲ καὶ εὔνοιαν οἴκοι φέρων ὁ ἐκκλησιαστής, ὡς περὶ ἑαυτοῦ καὶ τοῦ οἰκείου συμφέροντος τὴν ψῆφον ἐπενεγκεῖν μέλλων. εἰ μέντοι που καὶ χρεία προσοχῆς παρεμπέσοι, ταύτην ἐκ τῶν ἀνωτέρω τεθέντων προσποριστέον τῷ λόγῳ, τὰ δὲ πολλὰ καὶ ὁ δημηγορῶν πρὸς τῶν δικανικῶν ἐρανίζεται τὰ προοίμια.

ΠΕΡΙ

## ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΠΡΟΟΙΜΙΟΥ ΕΙΤΟΥΝ ΕΥΡΕΣΕΩΣ.

Μετὰ τὴν τῶν ἔργων τȣ̃ προοιμίȣ διάσκεψιν, λοιπὸν ἤδη ϗ περὶ τῆς ἐκείνων συνθέσεως διαλαβεῖν. Ἐφ' ἑκάςȣ τοιγαρȣ̃ν προοιμίȣ ζητητέα ἐςὶ πρότασίς τις εὐςόχως ἡμᾶς εἰς τὴν ἅλην ὑπόθεσιν εἰσάγȣσα, ἢ ἐκ τῆς ὑποκειμένης ὑποθέσεως μετενηνεγμένης, ἢ ἄλλοθέν ποθεν εἰλημμένη. ἣν ῥύδην ἅμα ϗ μετ' εὐρυθμίας ῥητορικῆς ἐκφράσομεν, ϗ πλατύτερον κατασκευάσομεν. εἶτα τὴν ἀπόδοσιν ἐποίσωμεν. ἥτις ἢ ἐνθυμήματ☉ λόγῳ ἐκ τῆς προτέρας συνάγεται προθέσεως, ἢ γȣ̃ν ἀξίωσιν περιέχει ὑμετέραν περὶ τȣ̃ προτεθέντ☉ ζητήματ☉. ϗ εἰ μὲν δόξει ἑτέραν ἐπισυνάψομεν πρότασιν, κατασκευάζȣσαν ἅμα τὴν συναχθεῖσαν, ϗ ἀμφοτέρας συνδέȣσαν. ἢν δὲ μὴ, τὴν πρόθεσιν εὐθὺς ὑπεισάξομεν. ὑπόδειγμα δὲ τῶν εἰρημένων ἔςω τοιόνδε. Ἡ μὲν ὑμετέρα περὶ τὸν Ἥρωα προθυμία, ταῖς ἱεραῖς κατ' ἔτ☉ τελεταῖς ϗ διακοσμήσεσι λαμπρὰν τὴν τȣ̃ πατρὸς μνήμην ἀπεργάζεται. λαμπροτέρα μέντοι πάντως συγκροτηθείη, ϗ ταῖς τῶν φιλοθεαμόνων ἀκοαῖς πρότερον ἐνηχήσειεν, εἴγε ϗ τȣ̃ εἰς μνήμην ἀνισημοτάτȣ (φημὶ τȣ̃ λόγȣ) ἐπιβόλαις γένοιτο. Καλὴ μὲν ϗ ἡ παρȣ̃σα φωταυγία τε ϗ φρυκτορία, ȣ̓χ ἥκιςα δὲ ϗ ἡ τῶν παραπετασμάτων ποικιλία τε ϗ γλαφυρότης. ἡ μὲν, δαψιλεῖ τῷ φωτὶ τὸ ἱερὸν ἅπαν τȣτὶ καταυγάζȣσα θέατρον. ἡ δὲ, τῷ πολυανθεῖ τῶν βαφῶν, τὸ πολυειδὲς αἰνιττομένη τῶν ἀρετῶν τȣ̃ Ἥρωος, ϗ ἀμφότεραι εἰς ὁλοχερῆ μνήμην τινὰ



ΙΩΑΝΝΙΝΑ 2006

τὴν ἐκείνου τοὺς θεατὰς ἀνεγείρουσαι. οὔπω μέντοι καὶ τῶν κατορθωμάτων τὸ μέγεθος ἐμφανῆται, ἢ γοῦν καθ' ἓν ἐξειπεῖν ὅλως ἰσχύουσιν, ὃ μάλιστα πράττειν ὁ λόγος πέφυκε ταῖς τῶν πράξεων ἰδιότησιν εὐπετῶς μᾶλλον συμμετα-

Ἀξίωσις, σχηματιζόμενός τε καὶ συνεξομοιούμενος. Διάστοι ταῦτα ἔργον μοι ἔδοξε πάνυ μὲν εὐσεβὲς, οὐχ ἧττον δὲ καὶ ὑμῖν καταθύμιον διαπράξασθαι, εἴπερ ὀλιγάττα τῶν τοῦ ἀνδρὸς προτερημάτων τῶν πολλῶν ἐξελὼν, ὅσα καὶ τῆς ἐμῆς γλώττης μὴ ὑπερπαίη τὴν δύναμιν, τῷ λόγῳ

Βάσις. ὡς ἐγχωρεῖ παραδῴη. Ὡς ἂν καὶ τῶν ἀκροωμένων τοῖς μὲν συνειδόσι ταῦτα πληρεστέραν τὴν μνήμην καὶ ἡδονὴν ἀπεργάσαιμι· τοῖς δὲ παντάπασιν ἀπείροις (εἴπου τινές εἰσιν) οἷόν τινα σπέρματα τῆς περὶ ἐκεῖνον ἱστορίας τε καὶ μιμήσεως διὰ τῆς εὐφημίας ἐγκαταβάλοιμι. καὶ ἅμα τῇ πανηγύρει τὸ εἰκὸς ἐκπληρώσαιμι. Πολλάκις δὲ καὶ ὅλον ἐκτίθεται τὸ ἐνθύμημα, εἰλημμένον, ἢ ἐκ τοῦ ὁμοίου, ἢ ἐκ τοῦ ἐναντίου, ἢ ἐξ ὑπογραφῆς, ἢ ἐκ τοῦ ἐλάττονος, καὶ τῶν τοιούτων, οὗ ἀμφοτέρας κατασκευάσαντες τὰς προτάσεις, εἰς τὴν ἀξίωσιν εἴτουν πρόθεσιν μεταβαίνομεν. οἷα που ὡς ἐν τύπῳ εἰσηγεῖται Ἀφθόνιος ἐν τῷ τοῦ Θουκυδίδου ἐγκωμίῳ. (Προηγούμενον) Τιμᾶν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα· οἷς εὐπορῆσαι τὰ κάλλιστα, καὶ τὸ παρ' ἐκείνων φανὲν ἐπανατίθεσθαι δικαίως τοῖς δέξασιν. (Ἑπόμενον) Οὐκοῦν Θουκυδίδην ἐπαινέσω τοῖς λόγοις, αὐτὸν τοῖς ἑαυτοῦ τιμᾶν προελόμενος. (Κατασκευή) Ἅπαντας μὲν οὖν τοὺς εὐεργέτας τιμᾶσθαι καλὸν, τοσούτῳ δὲ μᾶλλον

τὸν

τὸν Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον. (Αἰτία κατασκευῆς) Οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι κρεῖττον ὑπάρχει λαβεῖν, οὔτε Θουκυδίδου σοφώτερόν ἐστιν εὑρεῖν. Ἔστι δ' ὅτε καὶ ὁλόκληρον τὸν συλλογισμὸν προτιθέασιν, ἐφ' ὃν τὸ συναγόμενον ἀξιώσεως ἰσης βάσεως λόγον ἔσχηκεν. ὧν παραδείγματα καὶ ἐπὶ ἄλλων μάλα συχνά, καὶ παρὰ Δημοσθένει ἐπιστήσαντες εὑρήσετε. Ἐνίοτε δὲ καὶ τὴν πρώτως ἐκτεθειμένην πρότασιν ἀκατασκεύαστον παρέντες, ἐφ' ἕτερον μεταβαίνουσι συλλογισμὸν ἤτοι ἐνθύμημα, ὃ καὶ κατασκευαστέον τὸν ἀνωτέρω εἰρημένον τρόπον, οἷόν ἐστι καὶ τὸ τοῦ Δημοσθένους ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων. Κομψότης δὲ καὶ τὸ εὔφωνον καὶ πρὸς ἁρμονίαν κεκροτημένον παντὶ λόγῳ κόσμος ἐστὶν οὐκ ἄνευ ἡδονῆς τοῖς ἀκούουσι (πλὴν εἴπου ὁ λόγος διὰ τὸ ἐναγώνιον ἀποποιεῖται τὸ ἔντεχνον,) προοιμίῳ δὲ μᾶλλον ἐστὶ προόδου, ἅτε δὴ καὶ εὐνοίας κατάληψις. ἡ διὰ τῆς τῶν λόγων ἡδονῆς μνηστεύεσθαι πέφυκε, καὶ τὸ εὔσημον διὰ τὴν εὐμάθειαν. Καὶ περὶ μὲν προοιμίου τοσαῦτα ἀποχρώντως εἰρῆσθαι ἔδοξεν. ἦν δέ τι καὶ παρειμένον ἦ, ἥτε τῶν εἰρημένων κατάληψις εἰς τὴν κἀκείνου ὁδηγετήσει γνῶσιν, καὶ τὸ ὑμῶν ἅμα τε ἀγχίνουν καὶ φιλόπονον τοῦτ' ἀναπληρώσεται.

## ΠΕΡΙ ΔΙΗΓΗΣΕΩΣ ΕΙΤΟΥΝ ΠΡΟΘΕΣΕΩΣ.

Τὸ προοίμιον ἡ πρόθεσις εὐθὺς διαδέχεται. ἡ γνησίως μὲν ὁριζομένη, Ἔκθεσις λέγοιτ' ἂν πραγμάτων [καὶ] δήλωσις περὶ ἃ συνέστηκεν